# Ἀκολουθία Ὁσίου ΙΩΑΝΝΟΥ τοῦ Δομβοΐτου
# Δρ. Χαρ. Μπούσια

### Ψαλλομένη τῇ 1η Ἰουνίου

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Πατέρων Ὁσίων νεαυγῶν, Ἰωάννη σέμνωμα, ἐνύλους σχέσεις διέῤῥηξας, ἐκ σῆς νεότητος, καὶ ζυγὸν Κυρίου, ἐλαφρὺν ἀράμενος, ἐπ' ὤμων ἐν Δομβῷ ὡς ἀσώματος, ἐγκατεβίωσας, ἔνθα ἔτεινας τὸ πνεῦμά σου, νυχθημέροις, καμάτοις πρὸς Κύριον.

Ὁμόζηλος πόνων Σεραφείμ, τοῦ Ὁσίου γέγονας, ἐν τοῖς ἐσχάτοις τοῖς ἔτεσιν, ἐλλογιμώτατε, Πάτερ Ἰωάννη, Δομβοΐτα ἔνθεε, Χριστῷ εὐαρε-τήσας συντόνοις σου, πόνοις ἀσκήσεως, κατατήξει τοῦ σαρκίου σου, ἀκτησίᾳ, νηστείᾳ καὶ δάκρυσι.

Ἐκβλάστημα θεῖον Πειραιῶς, Ἰωάννη Ὅσιε, φιλανθρωπίας ἀκρώρεια, κανὼν χρηστότητος, ταπεινοφροσύνης, ἄγαλμα καὶ νήψεως, διάκοσμε καλῶς ἐξηγόρασας, χρόνον τοῦ βίου σου, καὶ ἀνέδειξας ἀνάκτορον, σὸν κελλίον, σοφὲ τὸ ἀπέριττον.

Μονῆς τοῦ Ὁσίου Σεραφείμ, θεοφόρε ἔνοικε, νηστεύων σκληραγωγούμενος, ἀεὶ εὐχόμενος, σιωπῶν καὶ νήφων, ἀρετῶν τὴν κλίμακα, ἀνῆλθες Ἰωάννη

μακάριε, καὶ εἰς οὐράνιον, δόμον ὄλβιε κατήντησας, ἔνθα Κτίστην, δοξάζεις καὶ Κύριον.

Δόξα. Ἦχος πλ. δ'.

Τὸν ὁμόζηλον τῶν πάλαι διαλαμψάντων Ὁσίων, καὶ ἰσοστάσιον τῶν Ἁγίων Ἀγγέλων, Ἰωάννην τὸν χαριτώνυμον Δομβοΐτην ἀσκητήν, ἐγκωμίων καταστέψωμεν ᾄσμασιν. Οὗτος γὰρ τὸ πολύβουον λιπὼν ἄστυ, ὡς ἐραστὴς ἡσυχίας καί σιωπῆς ἀκόλουθος, τὴν μάνδραν ᾤκησε Σεραφεὶμ τοῦ θεοφόρου, καὶ ἡσυχαστῶν ἐδείχθη ἀρτίως κοσμιότης. Διὸ τὴν ὑπέρτιμον νῦν μνήμην αὐτοῦ ἄγοντες, πρέσβυν αὐτὸν θερμὸν προβάλλομεν πρὸς Κύριον, τὸν σῴζοντα ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Εἰς τὸν Στίχον. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Γόνυ τὸ τῆς ψυχῆς, καὶ τοῦ σαρκίου κλίνων, ἑκάστοτε τὸν νοῦν σου, ἐπτέρου Ἰωάννη, πρὸς δώματα οὐράνια.

Στ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Ἄνθος τοῦ Πειραιῶς, νεοθαλὲς ὀδμαῖς σου, σοφίας Ἰωάννη, Δομβοϊτῶν χορείας, τῶν μονοτρόπων ηὔφρανας.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαῖρε ὁ σιωπῇ, νηστείᾳ ἀγρυπνίᾳ, εὐχῇ σκληραγωγίᾳ, καὶ νήψει Ἰωάννη, ἀρθεὶς πρὸς ὕψος ἄῤῥητον.

Δόξα. Τριαδικόν.

Δόξα Σοι ὁ Θεός, τρισάκτινε Θεότης, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ὁ Ἰωάννην ἄρτι, ἑλκύσας πρὸς τὸν θρόνον Σου.

Καὶ νῦν. Θεοτοκίον.

Ῥῦσαι τοῦ πονηροῦ, ἐπιβουλῆς Σοὺς δούλους, τοὺς μεγαλύνοντάς Σε, πρεσβείαις Ἰωάννου, τοῦ Δομβοΐτου, Δέσποινα.

**Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Δομβοΐτην Πατέρα τὸν χαριτώνυμον, ὡς ὑπερόπτην ῥεόντων καὶ ἀκλινῆ ζηλωτήν, τῶν ἀῤῥεύστων Ἰωάννην εὐφημήσωμεν, λόγιον πάντες ἀσκητήν, σιωπῆς τὸν ἐραστήν, καὶ σύνοικον ἡσυχίας, βοῶντες· ἔμπορε χρόνου, σοφὲ Χριστὸν ἡμῖν ἱλέωσαι.

Δόξα. Ὅμοιον.

Σεραφεὶμ τοῦ Ὁσίου Πατρὸς ὁμόζηλον, τὸν ἐν ἐσχάτοις τοῖς χρόνοις ἀδιαλείπτῳ εὐχῇ, σιωπῇ ἐξαγορᾷ τοῦ χρόνου μέλψωμεν, καὶ φυλακῇ αὐτοῦ νοός, Ἰωάννην ἀφανῶς, βιώσαντα ἐκβοῶντες· εὐχῆς καὶ νήψεως κέρας, ἡμῖν εὐμένιζε τὸν Ὕψιστον.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἢ Θεοτοκίον. Ὅμοιον.

Χαῖρε Πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

**Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακόν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η᾽ καὶ ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α᾽. Τῶν οὐρανίων Ταγμάτων.**

Στοιχοῦντα τῇ ἀῤῥεμβάστῳ, τοῦ Παντοκράτορος, Θεοῦ δοξολογίᾳ, προσευχῇ ἀσιγήτῳ, καί νήψει θεοφόρον ὕμνοις φαιδροῖς, Ἰωάννην τιμήσωμεν, ὥσπερ κιθάραν αἰνέσεως τοῦ Χριστοῦ, θείας κλήσεως ἡδύχορδον.

Τὴν σιωπὴν ἀγαπῶντα, σοφῶς θεόφρονα, καὶ τοῖς αὐτοῦ ὁδοῦσιν, ἕρκος θέττοντα ὕμνοις, τιμήσωμεν ἐκθύμως δῆμοι πιστῶν, Ἰωάννην τὸν Ὅσιον, τὸν ἐν ἐσχάτοις τοῖς χρόνοις ἐν τῇ Μονῇ, Σεραφεὶμ τοῦ θείου λάμψαντα.

Τὸν ἀσκητὴν τὸν θεόπνουν, καὶ λογιώτατον, ἡσυχαστὴν γαλήνην, ψυχικὴν ἐν τῇ κέλλῃ, αὐτοῦ τῇ ἀπερίττῳ καὶ πτωχικῇ, Ἰωάννην εὑρίσκοντα, ἣν ἐλογίζετο μέλαθρον παμφαές, ἐγκωμίοις καταστέψωμεν.

Τὸν ἑαυτὸν καθ᾽ ἑκάστην, σαφῶς βιάζοντα, τοῖς φθέγμασι συμφώνως, θείου Εὐαγγελίου, καὶ πόνοις νυχθημέροις τὴν χοϊκήν, σάρκα τήκοντα μέλψωμεν, νῦν Ἰωάννην ὡς ἄστρον νεολαμπές, σωφροσύνης καὶ συνέσεως.

Τῆς ἀρετῆς μαργαρίτην τὸν πολυτίμητον, καὶ τῆς Θεοῦ σοφίας, τὸν ἀτίμητον λίθον, κοσμοῦντα τὰς χορείας ἡσυχαστῶν, Δομβοΐτην τὸν ἔνθεον, νῦν

Ἰωάννην τιμήσωμεν εὐλαβῶς, χριστοφόρων τὰ συστήματα.

Ὥσπερ στρουθίον μονάζον ἐπὶ τοῦ δώματος, ἐνεκαρτέρεις μάκαρ, ἐν ἁπλῷ σου κελλίῳ, τοῦ κωδωνοστασίου σοῦ τῆς Μονῆς, τῷ κειμένῳ θειότατε, ἄνωθεν ὃ ἐλογίζου ὡς καλιάν, Ἰωάννη τῶν καμάτων σου.

Δόξα. Ἦχος πλ. β'.

Τὸν γινώσκοντα ὅτι ἔνδεια πραγμάτων, προσοικειοῖ ἀσκητὴν τῷ Θεῷ, καὶ ἀνακλινόμενον ἐπὶ τοῦ πατώματος τοῦ αὐτοῦ κελλίου, ὡς χαμαικοιτίας ἔκτυπον Ἰωάννην ἐγκωμιάσωμεν κράζοντες· Δομβοΐτα θεοείκελε, ὁ ἀψηφήσας τὸ ψῦχος τοῦ χειμῶνος, καὶ τὸ καῦμα τοῦ θέρους ὡς ἀσώματος, μὴ παύσῃ Χριστῷ πρεσβεύων ὑπὲρ τῶν τιμώντων, τὴν ἰσάγγελον πολιτείαν σου.

Καὶ νῦν. Τῆς ἑορτῆς ἢ Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε Παναγία Παρθένε;...

**Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα (Κεφ. β' 1 - 11).**

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι Αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν

καμίνῳ ταπεινώσεως. Πίστευσον Αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τάς ὁδούς σου καὶ ἔλπισον ἐπ’ Αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος Αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε Αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη; Ἢ τίς ἐπεκαλέσατο Αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. α' 1 - 10).**

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε Αὐτὸν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν Αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν Αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· Ἅγιον γὰρ Πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ Πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ,

οὐ δὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει, εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ΄ 7-15).**

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Δεῦτε φιλεόρτων οἱ δῆμοι προσδράμωμεν, εἰς τὴν Μονὴν Σεραφεὶμ τοῦ Δομβοΐτου, τιμῆσαι τὴν πανσεβάσμιον μνήμην Ἰωάννου τοῦ νεοφανοῦς Ὁσίου. Οὗτος γὰρ βιαστὴς τῆς Βασιλείας τῶν ὐρανῶν ὑπάρχων, οὐκ ἔπαυσε νυκτὶ καὶ ἡμέρᾳ δοξάζειν τὸν Κύριον, καὶ σκληραγωγεῖν ἑαυτὸν πρὸς τῶν παθῶν ἀπονέκρωσιν. Καὶ νῦν Χριστῷ συνευφραινόμενος, τῷ

δικαίῳ μισθαποδότῃ, πρεσβεύει Αὐτῷ καὶ ἡμᾶς ἀξιῶσαι, τῆς ἐν πόλῳ ἀτελέστου ἀγαλλιάσεως.

Ἦχος β'.

Ἐπιθυμήσας βιῶναι τὴν ἔρημον ἐν τῇ ἐρήμῳ, κατέλιπες Πειραιῶς τὸ ἄστυ, τὸ σεμνυνόμενον τοῖς σπαργάνοις σου, καὶ Ἑλικῶνος τὰς παρυφὰς ᾤκησας, ἃς πρότερον ἡγίασαν Σεραφεὶμ τοῦ Ὁσίου οἱ ἀσκητικοὶ ἱδρῶτες, Ἰωάννη Δομβοΐτα ἐνθεώτατε· ἐν αὐταῖς στερούμενος, θλιβόμενος καὶ κακουχούμενος, τῆς μοναδικῆς πολιτείας ὤφθης κανὼν εὐθύτατος, καὶ τῶν πάλαι ἀσκητῶν ἀνεζωγράφησας τοὺς ἀγῶνας. Καλῶς οὖν τὴν ἀσκητικὴν διανύσας τρίβον, καὶ θριαμβεύσας παννύχοις σου στάσεσιν ἐχθρὸν τον μισόκαλον, ἀνῆλθες εἰς πόλον Χριστῷ ὑπαντῆσαι, τῷ τοῦ Κόσμου Σωτῆρι, τῷ παρέχοντι πᾶσιν εὐχαῖς σου τὸ μέγα καὶ πλούσιον ἔλεος.

Ἦχος γ'.

Τὸν ἐν Ἀσκηταῖς λογιώτατον, καὶ λόγιον ἐν τοῖς Ὁσίοις, τὸν ἔμπειρον φιλόσοφον καὶ ὑποφήτην τῆς τοῦ Θεοῦ σοφίας, Ἰώαννην τὸν εὑρόντα τὴν πρᾶξιν εἰς θεωρίας ἐπίβασιν, ἀξιοχρέως ὑμνήσωμεν λέγοντες· ὁ διὰ τῆς ἀσκήσεως γνωρίσας σαφῶς τὸν ἔσω ἄνθρωπον, τὴν εὐτέλειαν καὶ αὐτοῦ ἀδυναμίαν, καὶ γονυπετὴς ἐκζητήσας τὸ θεῖον ἔλεος, πρέσβευε Κυρίῳ καὶ ἡμεῖς ἑαυτοὺς ἐπιγνῶναι, καὶ τυχεῖν συγχωρήσεως ὑπὸ τοῦ Κυρίου, τοῦ μόνου δυναμένου σώζειν γένος τὸ βρότειον.

Ἦχος δ'.

Τὸ σμικρὸν καὶ λιτὸν κελλίον, τὸ ἄνωθεν τοῦ κωδωνοστασίου τῆς τοῦ Ὁσίου Σεραφεὶμ μάνδρας, ἐργαστήριον ἁγιότητος Ἰωάννη ἀνέδειξας, διὰ τῆς σῆς συντόνου ἀσκήσεως· ἁγιάσας οὖν αὐτὸ τοῖς τῶν

δακρύων σου χεύμασι, καὶ ταῖς ῥοαῖς τῶν ἀειῤῥύτων ἱδρώτων σου, μετέστης πρὸς Χριστόν, τὴν ὄντως ζωήν, πρὸς ἣν καὶ ἡμᾶς εὐχαῖς σου ἑλκύεις, τοὺς μελωδοῦντας ἐν πίστει τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα. Ὁ αὐτός.

Τὸν πεφωτισμένον τῇ γνώσει, καὶ βαθὺν τῇ καρδίᾳ, τὸν λαλοῦντα τὰ ὑπὸ τῆς χάριτος χορηγούμενα, καὶ ἑλκύοντα πάντας τῇ αὐτοῦ συνέσει καὶ εὐγλωττίᾳ, Ἰωάννην τὸν τοῦ Δομβοῦ κοσμήτορα εὐσχημόνως μακαρίσωμεν. Οὗτος γὰρ λιπὼν τὴν ἐπὶ γῆς στρατευομένην Ἐκκλησίαν, μετέστη πρὸς τὴν ἐν οὐρανοῖς θριαμβεύουσαν, ἔνθα τῷ φιλανθρώπῳ Κυρίῳ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς ἢ Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε Εὐλογημένη Θεοτόκε...

Εἰς τὸν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις, ὁ νοῦν συνάζων σοφῶς, Μονῆς Δομβοῦς ἡσυχαστὰ χαριτώνυμε, καὶ οὐκ ἀφιεὶς τρισμάκαρ, ῥέμβεσθαι Πάτερ αὐτόν, θεατὰ ἀῤῥήτων, ὑπὲρ ἔννοιαν· καὶ λόγον κραυγάζομεν, ἀσκητὰ ἐνθεώτατε, ὁ ἐκ τοῦ κόσμου, προελθὼν τῆς συγχύσεως, καὶ τὴν ἔφεσιν, ὁλικῶς τῆς καρδίας σου, στρέψας πρὸς τὰ ἐσόμενα, ἀεὶ διαμένοντα, καὶ θαυμαστὰ τὰ ἐν πόλῳ, ἃ ὀφθαλμὸς οὐχ ἑώρακε, καὶ ἐπὶ καρδίαν, οὐκ ἀνέβη τῶν μερόπων, Πνευματοφόρητε.

Στ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις, ὁ ἀληθὴς μοναχός, ἔξω τοῦ κόσμου ὁ καθήμενος πάντοτε, καὶ Κτίσαντος ὑφηλίου, καὶ

Λυτρωτοῦ τοῦ παντός, πάσας τὰς ἡμέρας ὁ δεόμενος, τοῦ βίου σου Ὅσιε, Ἰωάννη θεσπέσιε, τυχεῖν ἀφθίτων, ἀγαθῶν ἃ ἡτοίμασεν, ὁ Θεάνθρωπος, τοῖς Αὐτὸν μεγαλύνουσι, καὶ ἀγαπῶσιν· ὅθεν σε, τιμῶντες γηθόμενοι, τὴν σὴν πανίερον μνήμην, ἐπιτελοῦμεν ἐν ᾄσμασι, σεμνὲ Δομβοΐτα, ἀνυμνοῦμέν σου καμάτους, σεπτοὺς πρὸς θέωσιν.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαίροις, ὁ ταπεινὸς καὶ ἁπλοῦς, ὁ ἀφανὴς ἡσυχαστὴς καὶ πραότατος, ὁ ἔμπλεως δωρημάτων, τῶν θεϊκῶν ἀσκητής, σιωπῆς νηστείας, καὶ σεμνότητος, εἰκὼν θεοτύπωτος, Ἰωάννη πανόλβιε, Δομβοῦς τῆς μάνδρας, τὸ θεόσδοτον κλέϊσμα, καὶ ὁμόζηλος, Σεραφεὶμ τοῦ θεόφρονος· πόνων τῶν τῆς ἀσκήσεως, ἐσχάτοις ἐν ἔτεσιν, ὁ διαπρέψας ἀόκνῳ, σκληραγωγίᾳ καὶ χάριτος, ὀφθεὶς ἐκμαγεῖον· ὅθεν πάντες κατ' ἀξίαν, σὲ μακαρίζομεν.

Δόξα. Ἦχος πλ. δ'.

Τὸν εὐαγγελικῶς ἑαυτὸν βιάζοντα, καὶ ἀκλινῶς ὑπομένοντα τοὺς παγετοὺς καὶ τὸ ψῦχος, ἐν τῷ αὐτοῦ λιτῷ κελλίῳ, ὃ ἐθέρμαινον αἱ ἀκτῖνες τῆς παρουσίας τοῦ Ἡλίου τῆς δικαιοσύνης, Ἰωάννην τὸν θειότατον εὐφημήσωμεν ᾄσμασι κράζοντες· χαῖρε, ὁ νεολαμπὴς φωστὴρ τῆς Ἐκκλησίας, καὶ ὁ πολύτιμος μαργαρίτης, τῆς ἐνθέου σοφίας, ἀπαθείας καὶ νήψεως· χαῖρε, ὁ ταμιοῦχος τῆς χάριτος τοῦ πανσθενοῦς Παρακλήτου, καὶ ὁ ἀκραιφνὴς ὑφηγήτωρ τῆς ἀσιγήτου εὐχῆς καὶ σκληραγωγίας· χαῖρε, ὁ θεὶς ὡς καταλύτην παθῶν τῶν χαμαιζήλων, τοὺς κόπους τῆς γονυκλισίας καὶ ἀσιτίας· ἀλλ' ὡς μονοτρόπων ἔμπνουν θησαύρισμα Δομβοΐτα Ὅσιε, μὴ παύσῃ οὐρανόθεν ἐποπτεύων, τοὺς

μεγαλύνοντας τοὺς ἀσκητικούς σου ἀγῶνας, καὶ ἀξιοχρέως σε μακαρίζοντας.

Καὶ νῦν. Τῆς ἑορτῆς ἢ Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καί θλίψεως.

**Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Δομβοϊτην Πατέρα τὸν χαριτώνυμον, ὡς ὑπερόπτην ῥεόντων, καὶ ἀκλινῆ ζηλωτήν, τῶν ἀῤῥεύστων Ἰωάννην εὐφημήσωμεν, λόγιον πάντες ἀσκητήν, σιωπῆς τὸν ἐραστήν, καὶ σύνοικον ἡσυχίας, βοῶντες· ἔμπορε χρόνου, σοφὲ Χριστὸν ἡμῖν ἱλέωσαι.

Δόξα. Ὅμοιον.

Σεραφεὶμ τοῦ Ὁσίου Πατρὸς ὁμόζηλον, τὸν ἐν ἐσχάτοις τοῖς χρόνοις, ἀδιαλείπτῳ εὐχῇ, σιωπῇ ἐξαγορᾷ τοῦ χρόνου μέλψωμεν, καὶ φυλακῇ αὐτοῦ νοός, Ἰωάννην ἀφανῶς, βιώσαντα ἐκβοῶντες· εὐχῆς καὶ νήψεως κέρας, ἡμῖν εὐμένιζε τὸν Ὕψιστον.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἢ Θεοτοκίον. Ὅμοιον.

Χαῖρε Πύλη Κυρίου ἡ ἀδιόδευτος...

## Ἀπόλυσις.

# ΟΡΘΡΟΣ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου, Σωτήρ.

Σιγῆς καὶ σιωπῆς, προβολεὺς φωτοφόρος, ὀφθεὶς ἐγκρατευτά, θαυμαστὲ Ἰωάννη, Δομβοῦς μέγα καύχημα, καὶ ἀσκήσεως σέμνωμα, θείῳ ἔφευγες, σθένει μωρὰς συζητήσεις, Πνευματέμφορε, ἀναστροφὰς ἀπαιδεύτους, καὶ λόγον ἀνούσιον.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς ἢ Θεοτοκίον.

Λιταῖς ἡσυχαστοῦ, νεαυγοῦς Ἰωάννου, Παρθένε ἀγαθή, ἐμπταισμένων ὁμίχλην, ἡμῶν διασκέδασον, πόθῳ μεγαλυνόντων Σε, καὶ ἀνάτειλον, ἡμῖν αὐγὴν σωφροσύνης, καὶ συνέσεως, τοῖς ὁλοθύμῳ καρδίᾳ, δοξάζουσι Τόκον Σου.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀγάπης συνέσεως μακροθυμίας εὐχῆς, νηστείας ἀσκήσεως, ὑπομονῆς ἀληθοῦς, ἐνθέου φρονήματος, νήψεως ἀκτησίας, χαυμενίας νηστείας, εὖχος καὶ ἡσυχία, πολυτίμητε ὄλβε, ἱκέταις Ἰωάννη τοῖς σοῖς, Κτίστην ἱλέωσαι.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς ἢ Θεοτοκίον.

Ἀπείρανδρε Δέσποινα, Θεογεννῆτορ σεμνή, λιταῖς τοῦ ἐκλάμψαντος, ἐν ἀρεταῖς ἀσκητοῦ, ἐσχάτοις ἐν ἔτεσιν, ἔμφρονος Ἰωάννου, Δομβοΐτου τοῦ θείου, ῥῦσαι τοὺς ὑμνητάς Σου, συμφορῶν κατωδύνων, καὶ θλίψεων χαρᾶς ὡς πιστῶν, Ἄχραντε πρόξενος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὸ εὐτελέστατον, μέλαν τριβώνιον, σεπτῆς ἀσκήσεως, ἀμφιεσάμενος, αὐτὸ ἐπότισας ῥοαῖς, ἱδρώτων σου καὶ δακρύων, νυχθημέρων Ὅσιε, Δομβοΐτα θειότατε, ἡσυχίας κλέϊσμα, καὶ σιγῆς εγκαλλώπισμα· διὸ ἐν σοὶ χαρᾷ ἐκβοῶμεν· χαῖρε θεόφρον Ἰωάννη.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς ἢ Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου, ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος, τοῦ θείου Τόκου Σου, Ἁγνὴ Παρθένε Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον, των ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ Σοι· χαῖρε ἡ Κεχαριτωμένη.

**Οἱ Ἀναβαθμοί· τὸ α΄Ἀντίφωνον τοῦ δ΄ ἤχου.**

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

**Ὁ Ν΄ (50) Ψαλμός. Εὐαγγέλιον Ὁσιακόν (Λουκᾶ στ΄ 17-23). Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ... (Ζήτει τῇ Παρασκευῇ τῆς β΄ ἑβδομάδος).**

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Τὸν ἰσχύσαντα ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, κακοπαθῆσαι ὡς καλὸς Αὐτοῦ στρατιώτης, ἐν τῇ ἀσκητικῇ μάχῃ καὶ τροπῶσαι ἐχθρὸν τὸν δόλιον, Ἰωάννην τὸν ἀρετῇ σοφίας κοσμούμενον, εὐφημήσωμεν κράζοντες· μοναδικοῦ πολιτεύματος βίβλε χρυσοτύπωτε, ὁ εὐχερῶς ὑπὸ τῶν εὐσεβῶν

ἀναγιγνωσκόμενος, μὴ παύσῃ δεόμενος τοῦ Κυρίου τῆς δόξης, ἑλκῦσαι ἡμᾶς ἐκ τῆς ἀδοξίας, πρὸς εὔκλειαν τὴν αἰωνίζουσαν.

**Οἱ Κανόνες· τῆς Θεοτόκου ἢ τῆς ἑορτῆς καὶ τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς: *Ἰωάννου, νέου Δομβοΐτου Πατρός, αἶνος. Χ.***

Ὠιδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἱκάνωσον Κύριε, τὸν παναχρεῖον καὶ ἄμουσον, οἰκέτην Σου σκάμματα, διαγωγῆς ἀκραιφνοῦς, μέλψαι σώφρονος, Ὁσίου Ἰωάννου, Δομβοῦς τοῦ κοσμήσαντος, μάνδραν τὴν ἔνδοξον.

Ὡς ἔνσαρκον Ἄγγελον, καὶ ἀσκητὴν ἰσουράνιον, τιμῶμέν σε ἅπαντες, τοῦ θεαυγοῦς Σεραφείμ, μάνδρας ἔνοικε, παμμάκαρ Ἰωάννη, ἀσκήσει τὸν θραύσαντα, πάγας τοῦ δαίμονος.

Ἀνάστημα πάνσεπτον, Μονῆς Δομβοῦς σχέσιν ἔνυλον, κατέλιπες ἅπασαν, ἵνα κερδήσῃς Χριστόν, τὸν παρέχοντα, ἀφθόνως Ἰωάννη, μισθὸν τοῖς τιμῶσί σε, αἰωνιότητος.

Θεοτοκίον.

Ναὲ ἀχειρότευκτε, τοῦ Ποιητοῦ πάσης κτίσεως, Πανύμνητε Δέσποινα, τοῦ Ἰωάννου λιταῖς, τοῦ ἀσκήσαντος, ἀρτίως ἰσαγγέλως, ναοὺς τοὺς οἰκέτας Σου, δεῖξον χρηστότητος.

Ὠιδὴ γ'. Τοὺς Σοὺς ὑμνολόγους.

Νεκρώσας τὰ μέλη τῆς σαρκός σου, ἀσκήσεως πόνοις σου στεῤῥοῖς, ἐζώωσας τὸ πνεῦμά σου, ἡσυχαστὰ τρισόλβιε, Ἀγγέλων εὐφραινόμενος, σὺν Ἰωάννη τοῖς τάγμασι.

Ὁ πάντων ῥεόντων ὑπερόπτης, καὶ τῶν αἰωνίων ζηλωτής, ὡς βιαστὴς ἀνύστακτος, τῶν ἀκηράτων μέτοχος, βραβείων μάκαρ γέγονας, ὦ Ἰωάννη τρισόλβιε.

Ὑμνεῖν σε ἀξίως Ἰωάννη, ὡς θέριστρον γένους πτερνιστοῦ, μερόπων χαριτώνυμε, ἱκάνωσον σοὺς πρόσφυγας, τοὺς προσκυνοῦντας θήκην σου, λειψάνων τὴν θαυματόβρυτον.

Θεοτοκίον.

Νῦν δῆμοι ἀζύγων Θεοτόκε, Μονῆς τοῦ Ὁσίου Σεραφείμ, καὶ τῶν πιστῶν συστήματα, τοῦ Ἰωάννου μέλποντα, τὰ σκάμματα ἑκάστοτε, Σὲ ἀκλινῶς μακαρίζομεν.

Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Φίλε γνήσιε, τοῦ Ζωοδότου, ὁ τὴν σάρκα σου, ὑποπιάζων, χαυμενίᾳ καὶ γονάτων ταῖς κλίσεσιν, ἵνα τὸ πνεῦμά σου τείνῃς πρὸς Ὕψιστον, τὸν κατ' ἀξίαν ἡμῖν γέρα νέμοντα, ἀφθαρτότητος Αὐτὸν Ἰωάννη Ὅσιε, ἱλεῶσαι ἡμῖν σε μακαρίζουσι.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς ἢ Θεοτοκίον.

Ἀειπάρθενε, Θεοκυῆτορ, θεία πρόξενε, χαρᾶς μερόπων, Προφητῶν τὸ ἱερὸν σεμνολόγημα, τῶν Ἀποστόλων ἀτίμητον μάργαρον, Ἱεραρχῶν καὶ

Μαρτύρων ὡράϊσμα, καὶ θειότατον Ὁσίων Πατέρων σέμνωμα, ἐπόπτευε θεόθεν τοὺς ὑμνοῦντάς Σε.

Ὠιδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ἐλεημοσύνης κέρας, Ἰωάννη τοῖς πένησι, καὶ πτωχοῖς ἐδίδου, ἱλαρῶς ἐκ τοῦ ὑστερήματος, τοῦ σοῦ καὶ ἔχων ἐν πόλῳ σὸν πολίτευμα, πρᾶγμα ἔνυλον, καὶ χοϊκὸν οὐκ ἐπόθησας.

Οὐρανῶν σκηνῶν οἰκῆτορ, Ἰωάννη πανθαύμαστε, ταπεινοφροσύνης, καί ἀκτημοσύνης διάδημα, οὐτιδανὸν ἐπωνόμαζες ἀπόβλητον, Πάτερ Ὅσιε, σαυτὸν γῆς πάσης καὶ σκύμβαλον.

Ὑμνῳδίαις σε τιμῶμεν, Ἰωάννη ἀείποτε, τὸν ἐπιζητοῦντα, ἀφανῶς ἐν γῇ πολιτεύεσθαι, καὶ τῷ Θεῷ εὐαρεστῆσαι ταπεινότητι, ἐνασκήσεως, συντόνου πόνοις καὶ δάκρυσι.

Θεοτοκίον.

Δεῦτε πάντων χριστωνύμων, οἱ χοροὶ εὐφημήσωμεν, τὴν λυτρωσαμένην, διὰ τοῦ Αὐτῆς Τόκου βρότειον, γένος εὐτάκτοις ᾠδαῖς καὶ μελωδήμασι, καὶ δοξάσωμεν, Υἱὸν Αὐτῆς τὸν Θεάνθρωπον.

Ὠιδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Οὐράνιε ἄνθρωπε, καὶ σαρκοφόρε Ἄγγελε, Πάτερ Ἰωάννη Δομβοΐτα, ἱεροψάλτου, καὶ ἀναγνώστου ἀσκῶν, σεπτὲ διακόνημα Χριστῷ, μελιῤῥύτως ἔψαλλες, καὶ ψαλμοὺς ἀνεγίνωσκες.

Μονῆς νέον σέμνωμα, Δομβοῦς ἐχθρὸν ἐπύκτευες, μάκαρ καθ’ ἑκάστην Ἰωάννη, θερμῶς προσηύχου, ἐνδελεχῶς τὰς σεπτάς, Γραφὰς ἐμελέτας καὶ Χριστοῦ, θέλημα τὸ ἅγιον, Ἰωάννη ἐφήρμοζες.

Βλαστὲ θεῖε πόλεως, τοῦ Πειραιῶς ἀείποτε, πρὸς ὑγρὸν στοιχεῖον σὴν ἀγάπην, ἐδείκνυς πᾶσιν, ὡς ἕλκων γένος τὸ σόν, ἐκ νήσων Αἰγαίου ἀσκήτα, Ἰωάννη Ὅσιε, ἀρετῆς φίλε γνήσιε.

Θεοτοκίον.

Οἱ δῆμοι Παντάνασσα, βροτῶν Σε μακαρίζοντες, σπεύδομεν τῇ Σῇ ἐπιστασίᾳ, καὶ ἀντιλήψει καὶ ταχινῇ ἀρωγῇ, ἐν δίναις τοῦ βίου ζοφεραῖς, καὶ παραμυθούμεθα, Σαῖς θερμαῖς παρακλήσεσι.

Ὠιδὴ στ'. Τὴν θείαν ταύτην.

Ἰσχὺν λαβὼν θείαν ἄφθονον, ἐμίσησας γεώδη καὶ ῥέοντα, καὶ ἐπεθύμησας, σαφῶς ἀεὶ διαμένοντα, τρισμάκαρ Ἰωάννη, Πνευματοφόρητε.

Τὴν πανσεβάσμιον μνήμην σου, τελοῦντες Ἰωάννη γηθόμενοι, πιστῶν οἱ σύλλογοι, τὰ θαυμαστά σου παλαίσματα, ἐν τῷ Δόμβῳ ὑμνοῦμεν, λαμπρῶς πρὸς θέωσιν.

Οὓς ἔτλης πόνους ἀσκήσεως, συντόνους πρὸς σοφίας ἀπόκτησιν, ὑμνολογοῦμέν σου, ἐγκρατευτὰ τιμιώτατε, τρισμάκαρ Ἰωάννη, ἀξιοθαύμαστε.

Θεοτοκίον.

Ὑπὲρ τῶν ὕμνοις τιμώντων Σε, μὴ παύσῃ δεομένη τοῦ Τόκου Σου, Θεογεννήτρια, δι᾽ ἀγαθότητα ἄμετρον, ἐκ τῆς σεπτῆς γαστρός Σου, ἐνανθρωπήσαντος.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τὸν Δομβοΐτην ἀσκητὴν τὸν Πνευματέμφορον, ἐν ταῖς καρδίαις γλυκασμὸν ἡμῶν σταλάζοντα, ἀντιλήψεως ἀόκνου καὶ προστασίας, Ἰωάννην ἡσυχίας ταπεινώσεως, σιωπῆς εὐχῆς καὶ νήψεως μυράλειπτρον, πόθῳ κράζοντες· **Χαῖρε σκεῦος τῆς χάριτος.**

**Ὁ Οἶκος.**

Ἄγγελος σαρκοφόρος, Ἰωάννη ἐδείχθης, Ὁσίων νεαυγῶν κοσμιότης, ὁ φωτίσας ταῖς μαρμαρυγαῖς, σῶν κατορθωμάτων τὴν Μονὴν πάνσοφε, τοῦ Σεραφεὶμ τοῦ μάκαρος, καὶ πίθων εὐσεβεῖν βοᾶν σοι·

Χαῖρε, ἐντρύφημα ἡσυχίας·
χαῖρε, ὡράϊσμα ἀπαθείας.
Χαῖρε, ἀσκητῶν θεοφόρων ἀμάρυγμα·
χαῖρε, νεαυγῶν μονοτρόπων ὑπόδειγμα.
Χαῖρε, ἔνοικε θεόφιλε, Σεραφεὶμ σεπτῆς Μονῆς·
χαῖρε, ἔμψυχε Παράδεισε, σιωπῆς καὶ προσευχῆς.
Χαῖρε, εὖχος Πατέρων, ἀρετὴν τῶν φιλούντων·
χαῖρε, κλέος Ὁσίων, ὁμοζήλων Ἀγγελων.
Χαῖρε, φανὸς νηστείας φωτόλαμπρος·
χαῖρε, σκηπτὸς δαιμόνων δριμύτατος.
Χαῖρε, ἀκρώρεια σκληραγωγίας·
χαῖρε, ἀμάρυγμα νέον σοφίας.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

**Συναξάριον.**

**Τῇ Α' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Ἰωάννου τοῦ Δομβοΐτου, τοῦ ἐν ἀφανείᾳ ἐκλάμψαντος ἄρτι ἐν τῇ Μονῇ τοῦ Ὁσίου Σεραφείμ. (+ 1962).**

Στίχοι·

*Ἑαυτὸν βιάζων, ἡσυχίας στῦλε,*

*Ἀγγέλων σύσκηνος, Ἰωάννη ὤφθης.*

**Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.**

Ὠιδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Πάτερ Ὅσιε, Μονῆς Δομβοῦ ὡράϊσμα, τὸ νέον πρόσδεξαι, τῶν ἱκετῶν σου λιτάς, καὶ πᾶσι τὰ πρόσφορα, ἐν βίῳ δώρησαι, τοῖς ὑμνοῦσί σου, τὰ σκάμματα πρὸς θέωσιν, θεοφόρε Ἰωάννη.

Ἀξιάγαστε, ἡσυχαστὰ ὀρθόδοξον, δεικνύων φρόνημα, λόγοις τοῖς σοῖς ἀκραιφνές, καὶ πράξεσιν Ὅσιε, τοῖς προσιοῦσί σοι, ἀναδέδειξαι, ὀρθῶν δογμάτων ἄριστος, ταμιοῦχος Ἰωάννη.

Τὸν τοῦ βίου σου, ἐξαγοράζων Ὅσιε, καιρὸν ἐσχόλαζες, τῇ ἀσιγήτῳ εὐχῇ, καὶ ὥρας θανάτου σου, σαφῶς ἑκάστοτε, ἐμνημόνευες, ἐν κατανύξει ἔκτυπον, ἀσκουμένων Ἰωάννη.

Θεοτοκίον.

Ῥείθροις θείων Σου, δεήσεων ἁγίασον, τῶν ἀνυμνούντων Σου, τὸν βίον Μῆτερ Θεοῦ, Ἁγνὴ Ἀειπάρθενε, καὶ πλῦνον βόρβορον, τῆς κακότητος, καὶ τῶν παθῶν ἀχρείων Σου, δούλων Κεχαριτωμένη.

Ὠιδὴ η'. Παῖδας εὐαγεῖς.

Ὅσιε φιλόσοφε τοῦ βίου, πορείαν οὐρανοδρόμον χαριτώνυμε, διανύσας ἔτεσιν, ἐν ἐσχάτοις ἔφθασας, εἰς οὐρανῶν σκηνώματα, ἐν οἷς τὰ τάγματα, Ἀγγέλων, Ἰωάννη κυκλοῦσι, τὸν Παμβασιλέα, Χριστὸν τὸν Ζωοδότην.

Σύντριμμα παγίδων τοῦ ἐχθίστου, ἡμέρας παρόντος βίου χρόνον ἤνυσας, εὐλαβῶς καὶ ἄληκτον, ὄντως καὶ ἀνέσπερον, ἡμέραν ἀπολαύσεως, μορφῆς τοῦ Κτίσαντος, Κυρίου, Ἰωάννη κατεῖδες, τοῦ σατὰν τὸ κράτος, συντρίψαντος εἰς τέλος.

Ἄγαλμα χαρίτων Ἰωάννη, φιλάρετε θεοσμίλευτον ἐκόσμησας, θείᾳ παρουσίᾳ σου, νήψει ταπεινώσει σου, καὶ τρόποις σῆς ἀσκήσεως, Μονὴν τὴν ἔνδοξον, Ὁσίου, Σεραφεὶμ ἐν ἐσχάτοις, χρόνοις θεοφόρων, Πατέρων κοσμιότης.

Θεοτοκίον.

Ἵλεων ἡμῖν τοῖς Σὲ τιμῶσιν, ἀπέργασαι τὸν Υἱόν Σου τὸν εὐΐλατον, Παναγία Δέσποινα, πρόξενε θεώσεως, μερόπων καὶ ἀνύστακτε, φρουρὲ τῶν ὕμνων Σε, στεφόντων, μελιῤῥύτοις λειρίοις, Κεχαριτωμένη, Κυρία Θεοτόκε.

Ὠιδὴ θ'. Ἅπας γηγενής.

Νέκταρ θαυμαστῶς, τρυγήσας τῆς χάριτος, δι' ἐνασκήσεως, καθαρᾶς θειότατε, Πάτερ χορείας, ἀζύγων ἥδυνας, ὧν τάξεις διεκόσμησας, τῇ πολιτείᾳ σου, Ἰωάννη, σοφολογιώτατε, Δομβοΐτα συνέσεως σάπφειρε.

Ὅλος τῷ πυρί, ἀγάπης τοῦ Κτίσαντος, Πάτερ φλεγόμενος, ἔκαυσας τὴν ἄκανθαν, παθῶν θεσπέσιε, καθάπερ ὕλην εὔπρηστον, συντόνοις πόνοις σου, Ἰωάννη, ὁ δροσίσας ἅπαντας, αὔρᾳ τῶν ἱερῶν παθημάτων σου.

Σὲ τῆς τακτικῆς, ὡς γνώστην βαθύτατον, νῦν μεγαλύνομεν, ἀοράτου Ὅσιε, πολέμου πάντες, τὸν προσευχόμενον, ἀδιαλείπτως νήφοντα, καὶ σάρκα τήκοντα, Ἰωάννη, νυχθημέροις σκάμμασι, Δομβοΐτα θεόφρον φιλόσοφε.

Θεοτοκίον.

Χάριτος πηγή, ἀκένωτε Δέσποινα, ἡμᾶς ἁγίασον, πρεσβειῶν Σου νάμασι, πρὸς τὸν Υἱόν Σου, τὸν πολυεύσπλαγχνον, τοὺς μελωδοῦντας σκάμματα, σεπτῆς ἀσκήσεως, Ἰωάννου, ἄρτι τοῦ ἀσκήσαντος, ἐν Δομβῷ ἰσαγγέλως Μητρόθεε.

**Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.**

Τὸν ἀσκητὴν λογοτέχνην, φιλοσοφίας τὸν φανόν, τὸν καταυγάσαντα πάντας, μαρμαρυγαῖς ἀσκητικαῖς, Μονῆς Δομβοῦ Ἰωάννην, ἀνευφημήσωμεν εὖχος.

Θεοτοκίον.

Θεογεννήτρια Μῆτερ, τοῦ Ἰωάννου προσευχαῖς, τοῦ Δομβοΐτου Ὁσίου, ὁδήγησόν με πρὸς νομάς, τρυφῆς ἐν πόλῳ ἀφθίτου, καὶ χαρμονῆς ἀτελέστου.

**Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.**

Πάτερ, Ἰωάννη Ὅσιε, ὁ ἀφανῶς ἐπὶ γῆς, ἄρτι πολιτευσάμενος, καὶ κοσμήσας τάγματα, τῶν Ἀγγέλων συντόνοις σου, πόνοις νηστείαις, παννύχοις στάσεσι, γονυκλισίαις, κακοπαθήμασι, καὶ ἀσιγήτῳ σου, προσευχῇ ἡγίασας, Δομβοῦ Μονήν, Σεραφεὶμ θεόφρονος, Πατρὸς τήν  πάνσεπτον.

Πάτερ, Ἰωάννη κλέϊσμα, νεοφανῶν ἀσκητῶν, ταπεινώσεως νήψεως χαμευνίας πέφηνας, καὶ ἀόκνου ἀσκήσεως, ἀστὴρ φωσφόρος, πνευματοφόρητε χοροὺς ἀζύγων, φωτίζων πάντοτε, καὶ τὴν ὁμήγυριν, εὐσεβῶς ἀπόκτησιν, τῆς ἀρετῆς, τῶν ποθούντων πάντιμε, σοφίας σύνοικε.

Πάτερ, Ἰωάννη σέμνωμα, ἡσυχαστῶν νεαυγῶν, θεοῤῥῆμον φιλόσοφε, ποιητὰ θεόπνευστε, καὶ λογίων τοῦ Πνεύματος· κιθάρα χαῖρε, ὄντως καλλίχορδε, βοῶμεν πόθῳ, πιστῶν οἱ σύλλογοι, οἱ ἐκδεχόμενοι, σὴν θερμὴν ἀντίληψιν, καὶ ἀρωγήν, ἵνα βίου πλεύσωμεν, καλῶς τὸ πέλαγος.

Πάτερ, Ἰωάννη πάνσοφε, τῆς ἡσυχίας εἰκών, προσευχῆς ἐργαστήριον, καὶ ταμεῖον νήψεως, ἐν Δομβῷ ἐνασκούμενος, ὁδοῖς Ὁσίου, κατηκολούθησας, τοῦ τῆς Μονῆς σου, σεπτοῦ δομήτορος, καὶ εὐηρέστησας, τῷ Χριστῷ τῷ νέμοντι, πιστοῖς ἀεί, γέρα βίου κρείττονος, καὶ ἀφθαρτότητος.

Δόξα. Ἦχος πλ. α'.

Πνευματοφόρε Πάτερ Δομβοΐτα Ἰωάννη χαριτώνυμε, ὁ χάριν εὑρὼν πρὸς Κύριον ἄφθονον, ὡς νήψεως σιωπῆς καὶ ἡσυχίας ἐνδιαίτημα, πρεσβεύειν ὑπὲρ τῶν τιμώντων σε, ἴσθι φρουρὸς καὶ φύλαξ ἀνύστακτος, τῶν προσφερόντων τὴν πανσεβάσμιον κλῆσίν σου.

Καὶ νῦν. Τῆς ἑορτῆς ἢ Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

**Μεγαλυνάριον.**

Χαίροις Ἰωάννη ὁ ἀφανώς, ἐν Δομβῷ ἀσκήσας, χαριτώνυμε καὶ ὀφθείς, θεαυγῶν Ὁσίων, ἀγλάϊσμα τὸ νέον, ἐν χρόνοις τοῖς ἐσχάτοις, Πάτερ θειότατε.

Δίστιχον.

*Παχώμιον ἴθυνον πρὸς σωτηρίαν,*
*Ἰωάννη μάκαρ, Χαραλάμπης κράζει.*